Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

XIV. Quod non oporteat sine manus impositione legere in collecta super ambonem.

urn:nbn:de:hbz:466:1-15473

Visual Library

Anno Christi 787.

ὅπου ὁ σκώληξ οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται, ὅτι τῇ τοῦ κυρίου φωνῇ ἐναντιοῦνται, τῇ λεγούσῃ· μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορείας.

ιδ΄.

Ὅτι οὐ χρὴ ἐκτὸς χειροθεσίας ἀναγινώσκειν ἐν τῇ συνάξει ἐπ' ἄμβωνος.

Ὅτι τάξις ἐμπολιτεύεται ἐν ἱερωσύνῃ, πᾶσιν εὔδηλον· καὶ ἐν ἀκριβείᾳ διατηρεῖν τὰς τῆς ἱερωσύνης ἐγχειρήσεις, θεῷ ἐστὶν εὐάρεστον. καὶ ἐπειδὴ ὁρῶμεν ἐκτὸς χειροθεσίας νηπιόθεν τὴν κουρὰν τοῦ κλήρου λαβόντας τινὰς, μήπω δὲ παρὰ ἐπισκόπου χειροθεσίαν λαβόντας, καὶ ἀναγινώσκοντας ἐν τῇ συνάξει ἐπ' ἄμβωνος, ἀκανονίστως τοῦτο ποιοῦντας, ἀποτρέπομεν ἀπὸ τοῦ παρόντος τοῦτο μὴ γίνεσθαι· τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ μοναχῶν. ἀναγνώστου δὲ χειροθεσίαν ἄδεια ἐστὶν ἐν ἰδίῳ μοναστηρίῳ καὶ μόνον ἑκάστῳ ἡγουμένῳ ποιεῖν, εἰ αὐτοῦ τῷ ἡγουμένῳ ἐπετέθη χειροθεσία παρὰ ἐπισκόπου πρὸς προεδρίαν ἡγουμένου, δῆλον ὄντος αὐτοῦ πρεσβυτέρου. ὡσαύτως καὶ κατὰ τὸ ἀρχαῖον ἔθος τοὺς χωρεπισκόπους κατ' ἐπιτροπὴν τοῦ ἐπισκόπου δεῖ προχειρίζεσθαι ἀναγνώστας.

ιε΄.

Ὅτι οὐ δεῖ κληρικὸν ἐν δυσὶν ἐκκλησίαις καταλέγεσθαι.

Κληρικὸς ἀπὸ τοῦ παρόντος μὴ καταλεγέσθω ἐν δυσὶν ἐκκλησίαις· ἐμπορείας γὰρ καὶ αἰσχροκερδείας ἴδιον τοῦτο, καὶ ἀλλότριον ἐκκλησιαστικῆς συνη-

vbi vermis non moritur, & ignis non extinguitur: quia voci Domini aduersantur, quæ dicit: *Non faciatis domum patris mei domum negotiationis.* Ioan. 2.

XIV.

*Quod non oporteat sine manus impositione legere in collecta super ambonem.*

Quia ordo debet in * sacratione custodiri, omnibus liquet: & cum diligentia conseruare sacerdotii promotiones, Deo est prorsus acceptum. Et quoniam videmus sine manus impositione a paruula ætate tonsurã cleri quosdam accipientes, nondum ab episcopo manus impositione percepta super ambonem irregulariter in collecta legentes, præcipimus amodo id minime fieri: idipsum quoq; conseruandum est etiam inter monachos. Lectoris autem manus impositionem licentia est vnicuique abbati in proprio monasterio solummodo faciendi, si dumtaxat abbati manus impositio facta noscatur ab episcopo secundum morem præficiendorum abbatum, dum constet illum esse presbyterum. Simili modo secundum antiquam consuetudinem chorepiscopos præceptione episcopi oportet promouere lectores.

* Gr. sacerdotio

XV.

*Quod non oporteat clericum duabus ecclesiis connumerari.*

Clericus ab instanti tempore non connumeretur in duabus ecclesiis. Negotiationis enim est hoc & turpis cõmodi proprium, & ab ecclesiastica consuetu-